διάγει. ὅτ' ἂν δὲ ὀλίγοι καὶ εἰρωνικοὶ ἢ καθ' ἕνα οὐκέτι. Καὶ τοῦ χάους.] χάους ἀντὶ τοῦ ἀέρος νῦν. ὡς Ἴβυκος. ποτᾶ-

A ται δὲ ἐν ἀλλοτρίῳ χάει. διαφρήσετε δὲ, διαφορήσετε διαπέμψετε.

Μὰ γῆν. μὰ παγίδας. μὰ νεφέλας. μὰ δίκτυα.
Μὴ 'γὼ νόημα κομψότερον ἤκουσά πω.
Ὥς' ἂν κατοικίζοιμι μετὰ σοῦ τὴν πόλιν
Εἰ ξυνδοκοίη τοῖσιν ἄλλοις ὀρνέοις.
Πει. Τίς ἂν οὖν τὸ πρᾶγμ' αὐτοῖς διηγήσαιτο. Επ. σύ.
Ἐγὼ γὰρ αὐτοὺς βαρβάρους ὄντας πρὸ τοῦ
Ἐδίδαξα τὴν φωνὴν, ξυνὼν πολὺν χρόνον.
Πει. Πῶς δῆτ' ἂν αὐτοὺς ξυγκαλέσειας; Επ. ῥᾳδίως.
Δευρὶ γὰρ ἐμβὰς αὐτίκα μάλ' ἐς τὴν λόχμην,
Ἔπειτ' ἀνεγείρας τὴν ἐμὴν ἀηδόνα,
Καλοῦμεν αὐτούς. οἱ δὲ νῷν τοῦ φθέγματος
Ἐάνπερ ἐπακούσωσι, θεύσονται δρόμῳ.
Πει. Ὦ φίλτατ' ὀρνίθων σὺ μὴ νῦν ἕσταθι
Ἀλλ' ἀντιβολῶ σ' ἄγ' ὡς τάχιστ' ἐς τὴν λόχμην
Ἔσβαινε κἀνέγειρε τὴν ἀηδόνα.

*Per terram, per laqueos, per nebulas, per retia.*
*Non ego intelligentiam superbiorem audiui dum.*
*Quare habitabo tecum ciuitatem,*
B *Si apparebit alijs auibus.*
PI. *Quis igitur rem ipsis narrabit?* EP. *Tu.*
*Ego enim ipsos barbaros existentes antea*
*Docui vocem, coexistens multo tempore.*
PI. *Quomodo igitur ipsos conuocabis?* EP. *Facile.*
*Huc enim iniens statim valde in syluam,*
*Postea suscitabis meam lusciniam.*
*Vocamus ipsos, hi autem nostrûm vocem*
C *Si audierint, current cursu.*
PI. *O amicissime auium tu, non nunc sta.*
*Sed precor te, age quàm citissimè in syluam*
*Ingredere, & suscita lusciniam.*

Σχόλια. Μὰ νεφέλας.] νεφέλη οὐ μόνον ἡ καπνώδης τῆς γῆς ἀναθυμίασις, ἀλλὰ καὶ εἶδος δικτύου θηρευτικοῦ. οὕτω γὰρ τὰ προστυχόντα ὤμνυον. μὰ κριὰς. μὰ γῆν. μὰ ποταμούς. Κομψότερον.] κομψὸν περίτρανον. περίλαλον. πανοῦργον. ἀπατηλικόν. πιθανὸν τεχνικόν. καὶ κομψεία ἐλαφρεία. ἀστειότης. πιθανολογία. ἀλαζονεία. Βαρβάρους ὄντας.] ἀντὶ τοῦ ἀφώνους ἢ ἀνηκόους ἀνθρώπων

D καὶ μὴ εἰδότας αὐτῶν φωνήν. ἵνα γὰρ μὴ θαυμάσῃ ἀκούσας, σὺ αὐτοῖς διηγήσῃ ὀρνέοις οὖσι. φησὶν ὅτι νοοῦσιν ἐξ ἐμοῦ διδαχθέντες. Ἐς τὴν λόχμην.] λόχμη δασὺς τόπος. πλαγία σύμφυτος καὶ λοχμάδης. Ἀηδόνα.] τὴν Πρόκνην γαμετὴν οὖσαν, ἥτις εἰς ἀηδόνα μετεβλήθη. Καλοῦμεν ἂν αὐτούς.] ἐν σχήματι εἴρηκεν ἀπὸ ἑνικοῦ εἰς τὸ πληθυντικὸν καὶ πρὸς τὸ σχῆμα τὸ χ.

## ΕΠΟΨ, ΕΥΕΛΠΙΣ, ΠΕΙΣΘΕΤΑΙΡΟΣ, Ὄρνις τὶς ἄλλος.

Bisetus. Ἔποψ τὴν ἀηδόνα προσφωνεῖ. καὶ τοὺς λοιποὺς ὄρνιθας ἐκείνων φωνὴν μιμησάμενος συγ-

E καλεῖ. ἐκ δὲ τούτων ἤδη συγκληθέντων ὁ χορὸς συνίσταται.

Ὠδὴ κώλων ιδ΄.

Επ. Ἄγε σύννομέ μοι, παῦσαι μὲν ὕπνου.
Χύσον δὲ νόμους ἱερῶν ὕμνων
Οὓς διὰ θείου στόματος θρηνεῖς.
Τὸν ἐμὸν καὶ σὸν πολύδακρυν Ἴτυν
Ἐλελιζομένη διεροῖς μέλεσι.
Γένυος ξουθῆς καθαρὰ χωρεῖ
Διὰ φυλλοκόμου σμίλακος ἠχὼ,
Πρὸς Διὸς ἕδρας. ἵν' ὁ χρυσοκόμας
Φοῖβος ἀκούων, τοῖς σοῖς ἐλέγοις
Ἀντιψάλλων ἐλεφαντόδετον
Φόρμιγγα, θεῶν ἵστησι χορούς
Διὰ δ' ἀθανάτων στομάτων χωρεῖ
Ξύμφωνος ὁμοῦ
Θεία μακάρων ὀλολυγή.
Αὐλεῖ τίς.

## Epops, Euelpis, Pistheterus, alia quædam Auis.

Cantus membrorum quatuordecim.

EP. *Age, conuiua mihi, cessa quidem somno.*
*Funde autem leges sacrorum hymnorum,*
F *Quos per diuinum os luges,*
*Meum & tuum per lachrymabilem Ityn.*
*Plorans humidis cantibus,*
*Barbæ flauæ pura it*
*Per comosam smilacem vox*
*Ad Iouis sedes, vbi auricomus*
*Phœbus audiens tuis elegis*
*Contra canens eburneam*
G *Citharam deorum statuit choros:*
*Per autem immortalia ora it,*
*Consonans simul*
*Diuinus beatorum luctus.*
*Canit quis?*

Σχόλια. Ἄγε σύννομέ μοι] ὡς μετέχουσα τοῦ αὐτοῦ βίου καὶ τῆς αὐτῆς νομῆς. τοῦτο δὲ, ὡς ἐπὶ ὀρνέων. μελικῶς δὲ ἄρχε-